μηνὶ Ἰαννουαρίῳ [80]) decessisse cognosset, Iulianum vero cui praesenti contumelias gravissimas ab ipso martyre inlatas fuisse eadem Acta (§ 16) adfirmant, a. 362 mense Ianuario Constantinopoli commoratum esse sciret [81]), — illud Ἰαννουαρίῳ ex Ἰουνίῳ per meram librariorum neglegentiam corruptum esse ignorans, s. Basilium Ancyra Constantinopolim abducendum curavit.

Quod vero Caesareae templum in s. Basilii honorem exstructum fuisse (p. XVI) Acta 𝔅 rettulere, id ab horum auctore temere excogitatum esse vix quisquam, opinor, existimabit; immo quin illud templum ibi re vera exstiterit, non est quod dubitemus, atque adeo cogitari potest id ipsum postmodo opinionis oriendae occasionem certe Caesariensibus praebuisse, quam Actorum 𝔅 auctor secutus esse videtur, — scilicet Caesareae, non Ancyrae s. Basilium decessisse [82]).

Praeter illam de s. Basilii passione narrationem idem Ioannes „Vitam s. Nicetae hegumeni monasterii Mediciensis“ conscripsit, quae codicibus MA continetur [83]) et a Tryphone Evangelide ad codicis M fidem edita est [84]). In ea conscribenda usum esse Ioannem s. Nicetae († a. 824) Vita a Theostericto scripta (Act. SS. April. I p. XXII—XXXII) iam H. Delehaye v. cl. perspexit [85]).

Saeculo X vixisse Ioannem veri simillimum esse mihi quidem

---

80) Cf. supra p. XIX.

81) Cf. Clinton Fasti Romani, I p. 448.

82) Cf. Tillemont *Mémoires,* VII p. 729 (v. supra adn. 76).

83) Cod. M fol. 51—65 v.: Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα ἡγουμένου μονῆς τοῦ Μηδικίου (μηδιαίου male L), — συγγραφεὶς (συγγραφὲν M', quod corr. manus quaedam recentior) παρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἁγιοηλίτου. Verba συγγραφεὶς — Ἁγιοηλίτου in M margine inferiore scripta sunt, in L omissa, cf. Lambros l. l. (adn. 51) p. 344, I, κ.

84) Τρ. Ε. Εὐαγγελίδου Οἱ βίοι τῶν ἁγίων (Athen. 1895), p. 286—313. — Hanc quoque Ioannis Hagioelitae narrationem totam ex M transscripsi aliquando editurus, meumque apographon postmodo cum editione principe modo laudata conferens haud paucos in hac deprehendi errores, veluti p. 287,4 ἐπάνω praebet pro ἐπὰν (M); vs. 9 sq. ἀπεχωρίσατο pro ἀπεχαρίσατο (M); vs. 12 προτέρους pro πατέρας (M); vs. 17 ἐλευθέρως pro ἐλευθερίως (M); vs. 20 ἐνερρίπτοντες pro ἀναρρίπτοντες (ἀναρρείπτοντες M¹ fin. fol. 51, ἀνερρείπτοντες M²); vs. 21 sq. ἐξερευγομένοις (an typoth. error?) pro ἐξερευγομένους (M); vs. 28 αὐτὰ ποιῶν ἐκ Δαμασκοῦ pro τὰ αὐτὰ ποιῶν ἐν Δαμασκῷ (M); vs. 29 ἀσεβοῦς pro ἀσεβοῦς καὶ ἀσεβῶς (M). Praeterea notandum est eiusdem paginae vs. 5 πάσοις ἐνώπιον τῆς βουλῆς ἐπαίνοις κατέστεψεν legi, ipso quidem editore adnotante πάσης M praebere.

85) Analecta Bollandiana, XV, 1896, p. 320.

videtur, — certe nec IX fere exeunte antiquiorem eum esse[86]) inde perspicitur, quod Theosterici narratione usus erat, nec XI ineunte recentiorem esse codicis L aetas ostendit.

Iam restat, ut Georgio de Laubmann bibliothecae Regiae Monacensis praefecto clarissimo quam maximas agam gratias, quo humanissime permittente factum est, ut codex M anno 1903 Iurievum transmitteretur.

86) Cf. Ehrhard, Röm. Quartalschrift, XI, 1897, p. 169.



SIGLORVM CONSPECTVS.

M — cod. Monacensis Gr. 3, saec. XI (p. XIII sq.).
L — cod. Laurentianus pl. IV, 4, saec. XI (p. XIV).
A — cod. Athous mon. Dionysii 145, saec. XVII (p. XIV).
S^a S^b — narrationes synaxares, quae ad s. Basilii Actorum recensiones 𝔄 𝔅 pertinent (p. XI sqq. XV sqq.).
T — Vetus Testamentum.
T^s — Veteris Testamenti cod. Sinaiticus.

D i d u c t i s litteris ea in contextu Graeco significavi, quae ad verbum cum Actis Gr. a Papebrochio editis congruunt.



fol. 26 M

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΒΑΣΙΛΕΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΕΝ ΑΓΚΥΡΑΙ ΑΓΙΩΤΑΤΗΣ ΤΟΥ ΘΕΟΥ ΕΚΚΛΗΣΙΑΣ

συγγραφὲν

παρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἁγιοηλίτου.

Ἡδὺ μὲν θέαμα ταῖς φιλοσωμάτοις καὶ φιλοκόσμοις ψυχαῖς καὶ λειμὼν παντοίοις καὶ ποικιλοχρόοις κομῶν φυτοῖς τε καὶ ἄνθεσιν· ἔνθα γὰρ τείνουσι τὴν ὀπτικὴν αἴσθησιν, πολὺ τὸ τέρπον πρὸς ἑαυτὰς ἐπισπῶνται, μαλθακιζόμεναι οἱονεί πως καὶ διαθρυπτόμεναι καὶ πρὸς τὸ λεῖον καὶ ἐκκεχυμένον τῆς ἡδονῆς παρεκκλίνουσαι (τοιοῦτον γὰρ ἔχει τὸ τέλος τὰ τοῦ κόσμου τερπνά)· καὶ πῇ μὲν τὸ κοκκοβαφὲς τῶν ῥόδων ἔτερψε, πῇ δὲ τὸ λευκὸν τῶν κρίνων πρὸς ἑαυτὸ ἐπεσπάσατο, καὶ ὧδε τοῦ βαλσάμου τὸ εὔοσμον ἠρέμα προσεκαλέσατο, ἐκεῖ τὸ φιλήνεμον τῆς πίτυος ὑπεσύρατο καὶ κατεγοήτευσεν, ἄλλοθεν τῶν μήλων τὸ ἠλεκτρῶδες ὑπέσανε καὶ κατέθελ|ξεν, ἔστι col. II δ' ὅτε καὶ τὸν λάρυγγα κατεγλύκανεν, ἔνθεν τὸ μαλακὸν τῆς ἀγρώστιδος τὰ τῆς στρωμνῆς προηυτρέπισε, — καὶ πάντα ταῦτα διὰ τῆς τῶν ἔξωθεν αἰσθήσεων βίας οἱονεὶ προσγαιώσαντα τὰς ψυχὰς ἐκείνας πέπεικε πρὸς τῷ τέλει βαρύ τι στενάξαι καὶ μύχιον καὶ τὴν στέρησιν τῶν τοιούτων ἀπολοφύ-

---

μηνὶ τῷ αὐτῷ (scil. Μαρτίῳ) κβ' titulo praemittit M in summo margine 3 ἁγιωτάτης M : om. AL 4 τοῦ θεοῦ AM : om. L post ἐκ|κλησίας add. M πάτερ εὐλόγησον. 5 sq. συγγραφὲν — ἁγιοηλίτου M (in imo margine) : om. AL 8 καὶ post ψυχαῖς om. L (?) 13 sq. πῇ — πῇ M 14 ὧδε, M

ρασθαι καὶ τῆς ἡδονῆς τὸ περιὸν ἀποσείσασθαι· ἡδύτερον δὲ ἀσυγκρίτως ταῖς φιλοκάλοις καὶ φιλοθέοις γραφὴ μαρτυρικοὺς ἄθλους διεξιοῦσα καὶ στάδια καὶ παλαίσματα, θυμούς τε τυράννων καὶ ἡμερότητας μαρτύρων μετὰ γενναιότητος, μελῶν ἀποκοπὰς, καμίνους πῦρ ἀκάματον τρεφούσας καὶ μικρόν τι δυναμένας λυμήνασθαι τοὺς διὰ Χριστὸν ἐμβεβλημένους ἢ οὐδὲν ὡς ἐπὶ τὸ πλεῖστον, καὶ, τὸ δὴ θαυμαστότερον, ἐν ταῖς ἥτταις fol. 26 v. τὰς νίκας ἀναφανδὸν ἀποδεικνῦσα | καὶ διὰ τῶν θλιβερῶν τὰ τῆς χαρᾶς ἐν ταῖς καρδίαις τῶν πασχόντων καὶ ἀκουόντων ἀνέκφραστα προενσπείρουσά τε καὶ ταμιεύουσα.

τίς γὰρ καὶ σήμερον ἐπ' ἐκκλησίας ἀκροώμενος τῶν ἀθλητικῶν ἀνδραγαθημάτων Βασιλείου τοῦ ἱερέως καὶ μάρτυρος οὐκ ἐπιλάθηται παντὸς θλιβεροῦ καὶ αὖ ἡδυντοῦ, ἃ συχνάκις εἴωθεν ἀντιπαρεισάγειν ὁ παρὼν βίος, καὶ ὅλος ἔνθους γένηται καὶ τῆς ἀψευδοῦς ἡδονῆς ἔμπλεως, ἐπιποθῶν πτέρυγας ἀετείους ἀναλαβέσθαι καὶ ὑψωθῆναι ὡς εἰς οὐρανὸν, ὥστε καταπτῆναι τάχιον καὶ καταπαῦσαι, ἔνθα τὸ μαρτυρικὸν σκῆνος ἐμπεριέχεται ἤ τι μικρὸν ἐκείνου λείψανον ἢ κόνεως τὸ βραχύτατον; ἐγὼ μὲν γὰρ τέως ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τὸν μάρτυρα τῇ γλώττῃ περιφέρων οὐκέτ' ἀνεκτῶς ἔχω μὴ col. II καὶ τοῖς τούτου ἐπεντρυφᾶν διηγήμασιν, οἶμαι | δὲ, καὶ πᾶς· καὶ ἐπεὶ τῷ πόθῳ ἡττώμεθα, φέρε δὴ φέρε τῆς διηγήσεως ἀρκτέον ὡς δύναμις.

Βασίλειος ὁ ἱερεὺς καὶ μάρτυς, ὁ ἐκ σπαργάνων αὐτῶν καθιερωθεὶς τῷ Θεῷ καὶ τῷ ποτίμῳ καὶ ζωογόνῳ γάλακτι τῆς πίστεως στοιχειωθεὶς καὶ ἐν οἴκῳ Κυρίου ὡς ἐλαία κατάκαρπος αὐξηθεὶς, προϊόντος δὲ τοῦ καιροῦ τῷ Πνεύματι τῷ ἁγίῳ ἱερεὺς τελειωθεὶς καὶ θύων ἀνεπαισχύντως τὸν ἀμνὸν καὶ ποιμένα καὶ ἀρχιερέα Χριστὸν τὸν Θεὸν ἡμῶν ἁγναῖς ταῖς χερσὶ καὶ τῇ καρδίᾳ καὶ ὕστερον θύσας ἑαυτὸν διὰ τοῦ ἰδίου αἵματος τῷ ἀοράτως θυομένῳ καθ' ἑκάστην ὑπ' αὐτοῦ, ὥρμητο μὲν ἐκ πόλεως Ἀγκύρας τῆς Γαλατίας, ἧς τὸ περιφανὲς καὶ ὀχυρὸν καὶ εὐφύλακτον αὐτὴ ἡ κλῆσις δηλοῖ καὶ τοῖς μήπω θεασαμένοις αὐτήν· τὸ δ' ὁποίων γονέων γέγονε καὶ τίνων καὶ ὅπως ἐχόντων περιfol. 27 ουσίας τε καὶ σεβάσματος, περιττόν ἐστι καὶ λέγειν, ἀμ|φιβόλου μὴ ὄντος τοῦ ἐκζητήματος. ἤκμαζε δὲ καὶ πολὺς τὰ θεῖα ᾔδετο, ὅτε ἔδει κρύπτεσθαι τοὺς πιστοὺς καὶ εἰς τρώγλας καὶ σχισμὰς πετρῶν ὑπεισέρχεσθαι διὰ τὸ ἀπάνθρωπον καὶ ἄθεον

---

26 sq. cf. Psalm. 51 (52), 10 ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, atque Hos. 14, 6 ἔσται ὡς ἐλαία κατάκαρπος.

---

5 ἀκάμαντον M pr. (fin. vs.) 6 λυμήνα|σθαι M 18 ἤ τί M

πρόσταγμα τοῦ ἀποστάτου Ἰουλιανοῦ τὸ διακελευόμενον ἐν πάσαις χώραις καὶ πόλεσι μὴ εὑρίσκεσθαι Γαλιλαῖον (οὐδὲ γὰρ ἠνείχετο ἡ παμβέβηλος καὶ χριστομανὴς ψυχὴ χριστιανὸν ὀνομάζειν τινά).

ἐπεὶ δὲ καὶ κατὰ τὴν Γαλατίαν ἔφθανε τοῦ θεοστυγοῦς τὰ προστάγματα, χώραν οὕτω πολυάνθρωπον καὶ τὸν τῆς θεοσεβείας σπόρον ἔκπαλαι δεξαμένην καὶ ἑκατοστεύουσαν ἐν τῇ ἐπιδόσει τῆς προκοπῆς τῆς εἰς τὸν Θεόν, καὶ πολὺς ἐπήρτητο κίνδυνος τοῖς μὴ πειθομένοις τῷ βασιλικῷ θεσπίσματι, ἑώρα δὲ ὁ τοῦ Θεοῦ ἱερεὺς καὶ τοὺς Ἀγκυρανοὺς πάντας συνταραττομένους καὶ συγχεομένους καὶ τῷ δέει τῶν τιμωριῶν οἱονεὶ ἀποψύχοντας, καὶ | τοὺς μὲν μετανάστας γινομένους ἐπὶ τὰς ἀοική- col. II τους, τοὺς δὲ ἤδη ὑποκλινομένους τῷ μιαρῷ θελήματι τῶν κρατούντων, ἄλλους νυκτερινοὺς ὄντας θεοσεβεῖς καὶ ὑποκρινομένους φανερῶς τὴν ἀσέβειαν, ἑτέρους τέλεον ἀποπλανηθέντας καὶ τῷ μέρει τῶν εἰδωλολατρῶν προστεθέντας (ὑπονενόητο γὰρ τοῖς ἀθέοις οἱονεί τι δέλεαρ τοῖς ἁπλουστέροις ἐγκαταμῖξαι κατὰ χώρας τοὺς θρησκεύοντας τὰ τῶν Ἑλλήνων ἐναγῆ καὶ κατάπτυστα), μὴ φέρων τὴν τοσαύτην ζημίαν μήθ᾽ ὅσιον ἡγούμενος τὸ σώζειν ἑαυτὸν μόνον καὶ τὸ δοθὲν αὐτῷ ἐκ Θεοῦ τάλαντον, ὡς ὁ πονηρὸς δοῦλος, κατακρύπτειν εἰς γῆν, τῷ θείῳ ζήλῳ, ὡς ἂν εἴποι τις, ἐκπυρηνισθεὶς καὶ τῷ ἁγίῳ Πνεύματι ὡς βέλος δυνατοῦ ἠκονημένον χαλκευθεὶς καὶ τῷ ψυχρῷ τῆς ταπεινώσεως χαρίσματι στομωθείς, ἐξήρχετο οὐ μόνον ἐν ἡμέραις, ἀλλὰ καὶ ἐν νυξὶ κατά τε | τὰς ἀγορὰς καὶ τοὺς στενωποὺς μεγάλῃ τῇ φωνῇ fol. 27 v. κηρύσσων καὶ λέγων· «ἀδελφοί, μήτις ὑμᾶς πλανάτω εἶναι «θεὸν ἕτερον πλὴν τοῦ Θεοῦ ἡμῶν, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν «καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς λόγῳ μόνῳ ἐκ τοῦ «μὴ ὄντος παρήγαγεν, ὃς ἀγγέλους ὑπεστήσατο, ὃς τὸν ἄνθρωπον ἐδημιούργησεν, οἰκείαις διαπλάσας χερσὶ καὶ παντοίοις κα«λοῖς κατακοσμήσας καὶ τοσοῦτον ἀγαπήσας, ὥστε πεσόντα πάλιν «ἀναστῆσαι διὰ τῆς ἐπ᾽ ἐσχάτων τῶν χρόνων ἐνανθρωπήσεως τοῦ «Υἱοῦ αὐτοῦ. στῆτε οὖν ἑδραῖοι ἐν τῇ πίστει, πρόδοτε ὑπὲρ τῆς «εὐσεβείας μὴ μόνον κτήματά τε καὶ χρήματα, ἀλλὰ καὶ ἑαυ«τούς· αἱ ἀπειλαὶ τῶν ἀρχόντων ὡς οὐδὲν ὑμῖν λογιζέσθωσαν, «αἱ δημεύσεις ὡς ἀνδραγαθημάτων κηρύγματα, αἱ ἐξορίαι ὡς

---

1 sqq. cf. Acta Gr. § 3. 22 sq. cf. Psalm. 119 (120), 4. 24 sq. cf. Acta Gr. § 2.

---

17 ἐγκαταμίξαι M 22 δυ|νατοῦ M : τοῦ δυνατοῦ T 35 ἡμῖν M pr. (fin. vs.)

«ἐνδιαιτήματα ἀναπαύσεως, αἱ τιμωρίαι ὡς δωρήματά τινων
col. II «πολυτιμήτων, οἱ θάνατοι | ὡς κληρονομίαι πατρικῶν πλούτων
«ἀναφαίρετοι».

τούτοις καὶ ἄλλοις πλείοσι τὸν λαὸν καθ' ἡμέραν ὑπο-
στηρίζων ὁ μάρτυς καὶ τὸν ῥοῦν τῆς πλάνης ἀναχαιτίζων ὡς
οἷόν τε καιρίως ἔπληττε τὸν τῆς πλάνης ἐφευρετὴν διάβολον.
διά τοι τοῦτο μὴ φέρων ὁ φθονερὸς τὴν ἧτταν ἐμηχανήσατο
χερσὶν ἀνόμων ὤκιστα παραδοῦναι τὸν ἅγιον, ὅπως τούτου ἀπο-
κτανθέντος αὐτὸς τοὺς πάντας τῷ βοθύνῳ τῆς ἀθεΐας ἐγκατα-
χώσῃ· ὃ δὴ καὶ ποιεῖ. ὑπεισελθὼν γάρ τινα Μακάριον τῇ κλή-
σει, οὐ τῷ πράγματι (τῆς γὰρ τῶν εἰδωλολατρῶν μοίρας ἦν καὶ
μακαρίαν ἡγεῖτο τὴν πολυθεΐαν ἤ, μᾶλλον εἰπεῖν, τὴν ἀθεΐαν,
ὡς τὴν ἀκαριαίαν ταύτην ζωὴν καὶ ἰνδαλματοσκιόγραφον ἀσπασ-
τὴν ἡγούμενος), καὶ τοῦτον οἱονεί τινα ταῦρον ἐξοιστρώσας, πέ-
πεικεν εἰσπηδῆσαι μανικόν τι καὶ βάκχιον κατὰ τοῦ ἁγίου δι-
fol. 28 δάσκοντος ἔν τινι τόπῳ | τῆς ἀναγορευθείσης πόλεως καὶ πρὸς
τοῦτον ταῖν χεροῖν τὰς χεῖρας συσφίγξαντα καὶ κατασείσαντα
θυμικῶς εἰπεῖν· «τίς εἶ σὺ ὁ καινήν τινα θρησκείαν παρ-
«εισάγων ἐν τῷ δήμῳ καὶ ἀπατῶν τοὺς ὄχλους μὴ σέβεσθαι
«τοὺς ἀθανάτους θεοὺς καὶ τοῖς τῶν κρατούντων μὴ ὑπείκειν
«θεσπίσμασιν; οὐ φοβῇ τὸν ἡγεμόνα Σατορνίλον;»

ὁ δὲ μάρτυς δίκαιον ζῆλον ἀναλαβόμενος ἀνταπεκρίθη·
«ἠλλοτριωμένε τῆς ἀλήκτου καὶ μακαρίας ζωῆς, ἔμφραξόν σου
«τὸ ἀπύλωτον στόμα καὶ ἄκουσον, ὅτι ἐγὼ μὲν δοῦλός εἰμι
«τοῦ ἐσταυρωμένου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Υἱοῦ τοῦ Θεοῦ
«καὶ Θεοῦ, κἀκεῖνον μόνον δέδοικα, σοῦ δὲ καὶ τοῦ σοῦ ἡγε-
«μόνος οὐδένα λόγον ποιοῦμαι».

τούτων ἀκούσας τῶν συνετῶν ῥημάτων ὁ μεμωραμένος τῷ
ὄντι Μακάριος, μηδὲν μελλήσας, ἄπεισι παραυτίκα πρὸς τὸν
ἡγεμόνα θυμομαχῶν καὶ κράζων ἀτάκτῳ φωνῇ· «ἡγεμὸν Σα-
col. II «τορνίλε, | καταπεφρόνηνται οἱ θεοί, ἠτίμωνται τὰ τῶν Ἑλλή-
«νων σεβάσματα, παρεώρανται τὰ τῶν βασιλέων θεσπίσματα,
«ἐξήπλωνται πανταχοῦ τὰ τῶν Γαλιλαίων διδάγματα· σὺ δὲ

---

4 sq. cf. Acta Gr. § 2. 10 sq. cf. Acta Gr. § 4. 28 sqq. cf. Acta Gr. § 5.

---

1 δωρήματα τινῶν M 8 ῴκιστα M 21 Σατορνίλον] Σατορνῖνος iste ἡγεμὼν vocatur in Actis Gr. §§ 5 sq. atque in S[a] (v. l. Σατορνίλος) et in S[b] (v. l. Σατουρνίλος). 29 μελήσας M 30 ἡγεμὸν] hanc scripturam traditam in ἡγεμὼν immutare nolui, ne forte ipse auctor corrigeretur (cf. infra p. 5, 20).

«ὀκνηρῶς διάκεισαι πρὸς τὴν τῶν τοιούτων ἔρευναν καὶ τὴν ἀγα«νάκτησιν τὴν κατὰ σοῦ οὐχ ὑφορᾷ, ἣν ὑποσταίης παρὰ τοῦ «σεβαστοῦ ἄνακτος Ἰουλιανοῦ, ὃς σπουδὴν τίθεται τὸ μηδένα «πανταχοῦ γῆς καταλειφθῆναι Γαλιλαῖον πρὸς θεραπείαν τῶν «ἀθανάτων θεῶν».

τούτοις τοῖς μηνύμασιν ὁ ἡγεμὼν θροηθεὶς ὥς τις πτὼξ ἐξαίφνης ὑπὸ κυνὸς καθυλακτηθεὶς, «καὶ τίς», ἔφη παρακεκομμένῳ τῷ ἄσθματι, «Μακάριε, ὁ τοὺς θεοὺς καθυβρίζων; λέγε συντόμως, ἵνα κακηγκάκως ἀποθανεῖται». ὁ δέ· «ἔστι τις Βασίλειος ἐνταῦθα, ὁ πάντα ἀνατρέψας τὰ ἡμέτερα». καὶ ὁ ἡγεμὼν πρὸς τοὺς ὑπ᾽ αὐτὸν, «συλληφθήτω ὁ κατάρατος καὶ παραστὰς τῷ βήματι ἀποκρινάσθω», | εἶπε, καὶ παραυτίκα συλ- fol. 28 v. ληφθεὶς ὁ ἅγιος παρέστη.

πρὸς ὃν ἐμβλέψας Σατορνίλος βλοσυρόν τε καὶ ὕφαιμον λέγει· «σὺ εἶ, τρισάθλιε, ὁ συγχέων τὴν πόλιν καὶ διδάσκων «ἀλλόκοτα καὶ ἀπατῶν τοὺς ὄχλους καὶ τοὺς θεοὺς μηδὲν εἶναι «κηρύττων καὶ τοὺς βασιλεῖς ἀθέους ἀποκαλῶν; ἀπόκριναι ἐν «συντόμῳ· οὐδὲ γὰρ κλῆσιν ἀνέχομαί σου μαθεῖν ἢ ἐνεγκα«μένην ἢ καὶ γεννήτορας, ἐπεὶ περιττά μοι ταῦτα λελόγισται».

Βασίλειος ἔφη· «μὴ ἀγρίαινε, ἡγεμόν· οὐδὲ γὰρ δέδοικά «σου τὸ ἄγριον, ἀλλ᾽ ἄκουε, ὡς προσέταξας, ἐν ὀλίγῳ· ἐγώ «εἰμι ὅν σοι Μακάριος ὁ μεμιασμένος μεμήνυκε, καὶ παρρησίᾳ «κἀνταῦθα καὶ πανταχοῦ κηρύττω ἕνα Θεὸν ἀληθινὸν εἶναι τὸν «ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς».

καὶ ὁ ἡγεμών· «τί δὲ, οἱ θεοὶ οὐ δοκοῦσί σοι εἶναι θεοὶ οὐδὲ ἀληθεῖς;»

καὶ ὁ μάρτυς· «οὐχὶ, ἀλλὰ λίθοι ἄψυχοι καὶ ἀναίσθητοι, «εἴδωλα κωφὰ, ὕλη γεηρὰ, χοῦς ἀμυδρὸς, ἔργα χειρῶν | ἀνθρώ- col. II «πων, ποτὲ μὲν συνθλώμενα καὶ πυρὶ παραδιδόμενα, ποτὲ δὲ «ἀναπλαττόμενα καὶ λαξευόμενα καὶ ἀναχωνευόμενα».

θυμὸς συνέσχεν ἐπὶ τούτοις τὸν ἡγεμόνα, ὃς μηκέτι οἷός τε ὢν ἑαυτὸν κατασχεῖν κελεύει ἀναρτηθῆναι τὸν ἅγιον καὶ σιδηροῖς ὄνυξι ξεσθῆναι πανταχοῦ τοῦ σώματος. τούτου δὲ διὰ τάχους γινομένου, καὶ τοῦ μάρτυρος μεθ᾽ ὑπομονῆς ψιθυρίζοντος καὶ ψάλλοντος· "ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξη-

---

25 sqq. cf. Acta Gr. § 6. 31 sqq. cf. Acta Gr. § 7. 35 sq. Psalm. 21 (22), 17. 18.

---

2 οὐχ˚ὑφο|ρᾷ M 7 καὶ deleverim 9 τίς M 20 ἡγεμόν] cf. supra p. 4, 30. 34 γι|νομένου M : γενομένου praetulerim, conl. p. 11, 22. 35 πόδας μου MTª : πόδας T

ρίθμησαν πάντα τὰ ὀστᾶ μου", καί, "Κύριε", φάσκοντος, "ῥῦσαι τὴν ψυχήν τοῦ δούλου σου ἀπὸ ἀσεβῶν", ὑπολαβὼν Σατορνίλος, ὅτι δυσανασχετεῖ ταῖς τιμωρίαις, ἔφη· «ἔγνως, βιοθάνατε, πῶς δύνανται οἱ θεοὶ δι' ἐμοῦ σε τιμωρήσασθαι; λοιπόν, «ὅτε ἐν πείρᾳ τῶν κακῶν γεγένησαι, πεισθήσῃ καὶ μὴ βουλόμενος».

ὁ δὲ ἅγιος πρὸς τὸν τύραννον· «"ὑπέλαβες ἀνομίαν, ὅτι fol. 29 «ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε", ἀνομώτατε, "καὶ | παραστήσω «κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου"· ἑαυτοῖς οἱ θεοί σου «βοηθῆσαι οὐ δύνανται, καὶ ἐμὲ τιμωροῦσιν; ὢ τῆς ἀναισθησίας· εἰ ἠδύναντό τινα τιμωρήσασθαι, τάχα ἂν τοὺς τεκτη«ναμένους αὐτοὺς ἐτιμωρήσαντο, οἵτινες ἐν καμίνῳ αὐτοὺς ἐμβα«λόντες καὶ ἀναχωνεύσαντες, σφύραις τε τὰς κεφαλὰς αὐτῶν «καὶ τὰς γαστέρας καὶ τὰς κνήμας καταπλήξαντες, οὐδὲν παρ' «αὐτῶν ἔπαθον. τί γὰρ ἂν καὶ πεποιήκεσαν τὰ ἄψυχα καὶ «ἀναίσθητα;»

ἐπὶ τούτοις τοῖς ἐλεγμοῖς ἐξαπορηθεὶς ὁ ἡγεμών, μὴ ἔχων, ὅ τι καὶ δράσοι, ἐκέλευσε καταχθῆναι τῆς αἰώρας τὸν μάρτυρα καὶ ἐν τῇ φυλακῇ ἀπορριφῆναι, ἕως ἂν ἀνενέγκῃ περὶ τούτου τῷ θεοστυγεῖ βασιλεῖ Ἰουλιανῷ.

ἐν ὅσῳ δὲ ἤγετο πρὸς τὴν φυλακήν, Φίληξ τις ἑλληνόφρων προστάξει τοῦ ἡγεμόνος τυχαίως τάχα προσυπήντα τῷ col. II μάρτυ|ρι καὶ «ἱνατί, ὦ Βασίλειε», ἔλεγεν, «οὐ πείθῃ τῷ «ἡγεμόνι καὶ τοῖς προστάγμασιν ὑπείκεις τῶν βασιλέων, ὡς κἀγώ, «καὶ ἀξιωμάτων τυγχάνεις καὶ μεγίστων δωρεῶν καὶ ἀπαλ«λαγῆς δεινοτέρων βασάνων, αἵ δικαίως περιμένουσί σε, εἰ επι«μένεις τῇ τοσαύτῃ τερθρείᾳ; τίνα γὰρ καὶ ποῖα οὐκ οἴει «παθεῖν, εἰ εἰς χεῖρας ἐμπέσῃς Ἰουλιανοῦ;»

ὁ δὲ μάρτυς στραφεὶς πρὸς αὐτὸν καὶ μετ' ἐμβριθείας τὸν ὀφθαλμὸν ὑπερείσας ἔφη· «ἀνόσιε Φίληξ, ἱνατί ὡς ἀφη-

---

1 sq. Psalm. 16 (17), 1. 13. 7—9 Psalm. 49 (50), 21. 17 sqq. cf. Acta Gr. § 8.

---

1 ῥύσαι M 2 τοῦ δούλου σοῦ] μου T ἀσεβῶν] ἀσεβοῦς T 5 ὅτι Acta Gr. § 7 γεγέ*νησαι (eras. ν) M 9 τὰς ἀνομίας (ἁμαρτίας Ts) σου MTs (man. 2 additum): om. T 11 sq. τεκτηναμέ|νους M 21 Φίληξ et h. l. et infra (vs. 30) traditum vix est quod in Φῆλιξ corrigatur, quamquam huic quidem scripturae restituendae illud ἀφῆλιξ, quod altero loco — nimirum ab auctore non sine industria adhibitum — subsequitur, favere videtur; Φήλιξ Acta Gr. § 8. τίς M 30 φίλεξ M pr., ut vid., — nisi forte illud η umore partim exesum est; cf. supra ad vs. 21.

«λιξ παῖς ἀφρόνως λαλεῖς; καὶ οὐκ οἶσθα, ὅποι τῶν κακῶν φέ«ρῃ· πορεύου μακρὰν ἀπ' ἐμοῦ, υἱὲ τοῦ διαβόλου· οὐδὲ γὰρ «ἀξιώσαιμί σε λόγου τινός». οὕτως ἀποκρουσθεὶς ὁ ἄθλιος συνεργὸς τοῦ ἡγεμόνος ἐπορεύθη πρὸς αὐτὸν τεταπεινωμένος κατησχυμμένος, λέξας· «κρείττων πασῶν ἀπειλῶν καὶ τιμωριῶν ὁ ἀνήρ· λοιπὸν δήλου τὰ κατ' αὐτὸν τῷ βασιλεῖ».

εὐθὺς οὖν γράμ|ματα κατελάμβανε πρὸς Κωνσταντινούπολιν fol. 29 v. τὸν Ἰουλιανόν· ὁ δὲ ἀναγνοὺς ταῦτα παραυτίκα ἐπινοεῖ τι ἄξιον τῆς αὐτοῦ βδελυρίας καὶ δαιμονικῆς ὑπουλότητος, καὶ καλέσας δύο τινὰς (ὀνόματα αὐτοῖς Ἐλπίδιος καὶ Πηγάσιος), οἵτινες ἔξαρνοι, φεῦ, γεγόνασι τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως τῶν χριστιανῶν, εἶπεν· «εἰ τὰ πρὸς θεραπείαν ἐμοὶ «αἱρεῖσθε καὶ οὐκ ἐπιλήσμονές ἐστε τῶν ἐμῶν εὐεργεσιῶν, «πορεύθητε κατὰ τὴν Ἄγκυραν τῆς Γαλατίας, ἔνθα Σατορ«νίλος ἡγεμονεύει, καὶ καταμάθετε, ἐν ποίᾳ φυλακῇ καθείργ«νυται Βασίλειός τις ἱερεὺς τῶν χριστιανῶν, ὃς καὶ τὸ αὐτῶν «δόγμα κρατύνει, καὶ εἰσελθόντες ἀσπάσασθε αὐτὸν καὶ ἐπερω«τήσατε τὴν αἰτίαν τῆς καθείρξεως· καὶ ἀκούσαντες εἴπατε «συμβουλῆς τρόπῳ· „μάτην πάσχεις, ἄνθρωπε, καὶ ὑπὲρ ψευδῶν «τινων καὶ ἀναποδείκτων· πῶς γὰρ οὐκ ἄδηλά τινα | καὶ ἀναπό- col. II «δεικτα, περὶ ὧν ἡ καθ' ὑμᾶς γραφή φησιν, ὅτι "οὔτε ὀφθαλ«μὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀν«έβη"; εἰ γὰρ ἀληθῆ ἦσαν, οὐκ ἂν ἡμεῖς, κύριοι ὄντες λογισ«μῶν καὶ σοφίᾳ συντεθραμμένοι, ἀπέστημεν τῆς τῶν χριστιανῶν «ἐπιβούλου καὶ φονικῆς θρησκείας. ἀφεὶς οὖν τὰ πολλὰ καὶ «τὸ τοσαῦτα μάτην πάσχειν ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵμα«τος· κρύψωμεν δὲ εἰς χάος τὸ τῶν χριστιανῶν δόγμα, καὶ «ἐσόμεθα ὀνομαστοὶ ἐπὶ τῆς γῆς". εἰ μὲν οὖν ὑμῖν πεισθῇ, «εὖ ἂν ἔχοι· εἰ δ' οὔ, ἀλλὰ σιδήροις πεδηθεὶς ἀχθήτω πρός «με. χαίροντες οὖν πορεύεσθε, καὶ οἱ θεοὶ ἔσονται μεθ' ὑμῶν».

οἱ μὲν οὖν εὐθέως τὴν πρὸς Ἄγκυραν ἐστέλλοντο· καταλαβόντες δὲ τὴν Νικομήδειαν, εὑρίσκουσί τινα Ἀσκληπιὸν ἱερέα ὄντα τοῦ θεοῦ τῶν Ἑλλήνων Ἀσκληπιοῦ

7—10. cf. Acta Gr. § 9. 21 sq. cf. Corinth. I, 2, 9 ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. 27 sq. cf. Iudith 11, 23. 31 sqq. cf. Acta Gr. § 9.

---

4 sq. τεταπεινωμένος κατησχυμμένος] cf. infra p. 8, 24. 9 τί M 23 ὑμεῖς M pr. 28 ἡμῖν M pr. πεισθῇ, ex πείθῃ corr. M 30 ἡ|μῶν M pr. 32 sq. ἀσκλη|πιὸν M: Ἀσκλήπιον Acta Gr. § 9.

κ α ὶ συμπαραλαβόντες α ὐ τ ὸ ν ὅλοι τῆς πορείας ἐγίνοντο. ἐπεὶ fol. 30 δὲ πεφθά|κεσαν εἰς τὴν Ἄγκυραν καὶ τὰ τῷ βασιλεῖ δεδογμένα περὶ Βασιλείου ἀνήγγειλαν τῷ ἡγεμόνι μυστικώτερον, ὁ Πηγάσιος τοὺς ἄλλους ἀφεὶς καὶ τὸ προσμένειν αὐτόθι τῇ χειρὶ κατασημήνας, ἐξελθὼν καὶ τὸν ἀγνοοῦντα ὑποκριθεὶς διηρώτα καὶ διηρεύνα, ποῦ Βασίλειος ὁ Γαλιλαῖος ἐγκέκλεισται. ὡς δὲ τὴν φυλακὴν τάχα κατέμαθε καὶ ταύτην εἰσῄει, εὐθὺς λαμπρᾷ τῇ φωνῇ «χ α ί ρ ο ι ς, Β α σ ί λ ε ι ε,» ἐπειπὼν ἐκάθισεν.

οὐκ ἦν δὲ ἄρα λαθεῖν τὸν λύκον κῳδίῳ προβάτου περικρυπτόμενον, ἀλλὰ δῆλος ἦν τῷ ἁγίῳ τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ καὶ χάριτι· πρὸς ὃν καὶ ἀνταπεκρίθη· «ἀλλὰ σ ο ί, «ἄθλιε, ο ὐ κ ἔ σ τ ι χ α ί ρ ε ι ν, ὅτι ἐγκατέλιπες Θεὸν ζῶντα «καὶ πηγὴν ἀθανασίας καὶ προσεκολλήθης τοῖς δαίμοσιν, ὥσπερ «χοῖρος ἐγκυλινδούμενος τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ ὑπέκ«καυμα πυρὸς αἰωνίου τηρούμενος. οὐαὶ οὐαὶ σοί τε καὶ τῷ βασι- col. II «λεῖ σου Ἰουλιανῷ, ὅτι ἑ|κόντες ἐμύσατε πρὸς τὸ φῶς τῆς ἀλη«θείας καὶ σπεύδετε τοξεύειν κατ᾽ οὐρανῶν καὶ ἀντιμάχεσθαι «τῷ μόνῳ ἰσχυρῷ καὶ ἀνικήτῳ Θεῷ Ἰησοῦ Χριστῷ. τ ί σοι «οὖν βούλεται ἡ πρὸς ἐμὲ ἄφιξις; μὴ τὸ πεῖσαί με συνθέσθαι «τῷ θῦσαι τοῖς δαιμονίοις; ἀπόστηθι ἀπ᾽ ἐμοῦ, κατάπτυστε, «ὁ καὶ δαίμοσιν αὐτοῖς, οἷς θύεις, καταγέλαστος».

τούτοις τοῖς ῥήμασι κατατοξευθεὶς καιρίως ὁ Π η γ ά σ ι ο ς καὶ ὑπὸ τῆς αἰσχύνης τὸ πρόσωπον ἀλλοιωθεὶς καὶ τὴν γλῶτταν πεδηθεὶς ἐξῄει τεταπεινωμένος κατῃσχυμμένος, μὴ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς, κ α ὶ καταλαβὼν τὸν Σατορνῖλον καὶ τοὺς σὺν αὐτῷ οὐκ εἶχεν, ὅ τι καὶ φθέγξοιτο. μόλις γοῦν ἀνενεγκὼν καὶ εἰς ἑαυτὸν γενόμενος, εἴρηκε πρὸς αὐτούς· «ἐλά«θομεν πρὸς κολωνὸν κυρίττοντες, ὦ ἑταῖροι, καὶ ἀδάμαντα «κόπτοντες ἀξίναις μολιβδίναις καὶ ἀέρα τύπτοντες· ὑπεράνω fol. 30 v. «πασῶν ἀπειλῶν ὁ ἀνήρ· οὐ σκώληξ κολακείας δύνα|ται εἰς «αὐτὸν ὑπεισδῦναι· ἀμείλικτός ἐστιν, ἀκάθεκτός ἐστιν· οὐκ «ἀνέχεται οὐδὲ ψιλῇ ἐπινοίᾳ ἐννοῆσαί τι κατὰ τοῦ Θεοῦ αὐ«τοῦ· Χριστὸν πνεῖ, Χριστὸν λαλεῖ, Χριστὸν φιλεῖ, Χριστὸν «ἐσθίει, θεοὺς δὲ καὶ βασιλεῖς καὶ ἡγεμόνας καὶ τοὺς ἄλλους «τοὺς καθ᾽ ἡμᾶς ὡς πηλὸν λελόγισται».

---

6 sqq. cf. Acta Gr. § 10. 22 sqq. cf. Acta Gr. § 10 (sub fin.).

---

1 ἐγίνοντο M (inc. vs.) : malim ἐγένοντο 3 ἀνήγγειλαν$^{\beta}$ περὶ$^{\alpha}$ βασιλείου M 4 sq. κα|τασημήνας M 11 ἀλλά σοι M (inc. vs.) 19 μὴ, M 24 τεταπεινωμένος κατῃσχυμμένος] cf. supra p. 7, 4 sq. 31 ὑπεισδῦναι] δ in rasura M 32 ψιλῇ ex ψιλεῖ corr. M

ταῦτα ἐνωτισάμενος Σατορνῖλος καὶ ἰδὼν οὕτω καταπεπτωκότα τὸν Πηγάσιον καὶ καταισχυνθέντα, ᾑρημένος ἀμῦναι αὐτῷ ὑβρισμένῳ, ἀποστείλας καὶ ἀγαγὼν μετὰ ἀτιμίας τὸν ἅγιον, ἐβουλήθη μυρίαις αὐτὸν καθυποβαλεῖν ταῖς τιμωρίαις, ἐπέσχε δὲ αὐτὸν Πηγάσιος φοβηθεὶς τὸ ἐλεγκτικὸν τοῦ ἀνδρὸς ἐπὶ πλέον· ὅμως τύψας αὐτὸν βουνεύροις σιδηρόδετον παρέδωκεν ἀχθῆναι πρὸς Ἰουλιανὸν εἰς τὴν Κωνσταντίνου.

οὐκ ὀλίγαι ἡμέραι παρῄεσαν, καὶ ὁ μάρτυς παρέστη τῷ βασιλεῖ μαθόντι τὰ κατ᾿ αὐτόν· καὶ ὃς πρὸς τοὺς ἀποκομίσαντας· «οὗτός ἐστι Βασίλειος ὁ ἀνάστατον ποιήσας | πάντα col. II «τὸν δῆμον τὸν ἐν Ἀγκύρᾳ καὶ φάσκων μὴ εἶναι θεούς, ἀλλὰ «μόνον ἕνα θεὸν τὸν ἐσταυρωμένον, ὃν ὡς στασιαστήν, καλῶς «ποιοῦντες, Ἰουδαῖοι θανάτῳ ἀτίμῳ παρέδωκαν;» καὶ οἱ παρεστῶτες· «οὗτός ἐστιν, εὐτυχέστατε βασιλεῦ».

«ἀλλὰ λέγε μοι σύ, ταλαίπωρε», πρὸς τὸν ἅγιον ἀποβλεψάμενος Ἰουλιανὸς ἔφη· «πάσης τῆς οἰκουμένης τῷ ἐμῷ κράτει «ὑποκειμένης καὶ τοῖς ἐμοῖς θεσπίσμασι πειθομένης καὶ τοῖς «ἀθανάτοις θεοῖς σέβας καὶ θυσίας προσνεμούσης, πῶς αὐτὸς «μόνος ἀντικαθιστᾷ τῇ ἐξουσίᾳ;»

καὶ ὁ μάρτυς· «οἱ ὑπείκοντες τῷ σῷ θελήματι, τύραννε, «ἢ δοῦλοι τῶν ἐναγεστάτων καὶ μιαρῶν παθῶν εἰσιν, ἢ τὸ τῆς «ἀπηνείας καὶ ἀπανθρωπίας σου ὑπερβολικὸν δεδοικότες, ἢ ἄνω«θεν καὶ ἐκ προγόνων τῇ εἰδωλολατρίᾳ συζῶντες· ἐγὼ δὲ πάλαι «τῇ εὐσεβείᾳ συντεθραμμένος καὶ τὰς τιμωρίας σου ὅλως μὴ δε«δοικὼς μήτε δοῦλος βουληθεὶς | γενέσθαι πώποτε τῆς καταπτύσ- fol. 31 «του καὶ αἰσχρᾶς ἡδονῆς, οὔτε τῷ προστάγματί σου ὑπείκω, «οὔτε τοῖς μιαροῖς θεοῖς σου, παμμίαρε καὶ ἀποστάτα τῆς ἀλη«θείας, σέβας προσνέμω».

τούτοις καταβροντηθεὶς τοῖς λόγοις Ἰουλιανὸς ὁ ἐμβρόντητος καὶ ὅλος τοῦ θυμοῦ γεγονώς, μὴ θέλων δὲ ἀποφήνασθαι κατὰ τοῦ ἁγίου, ἀλλὰ κατὰ μικρὸν αὐτὸν ἀναλῶσαι ταῖς τιμωρίαις, κατασχὼν ἑαυτὸν καὶ οἱονεὶ μανικόν τι καὶ ὠχρὸν ὑπομειδιάσας, ἔφη πρὸς τὸν μάρτυρα· «οὐ λέληθάς με, Βασίλειε, «βάλλων ταῖς ὕβρεσιν, ὅτι ἐφέσει τοῦ τάχιον ἀποθανεῖν τοῦτο

---

1 sqq. cf. Acta Gr. § 11. 8 sqq. [cf. Acta Gr. §§ 13 sq.]

---

2 sq. ἀ|μύναι M 7 κωνσταντίνου· (υ ex ύ rad. corr.) M, unde librarium pr. κωνσταντινούπολιν scribere voluisse apparet.

9 αὐτόν] ν in rasura M (αὐτου pr., ut vid.) 25 πῶ πο $\overset{ε}{τ}$ M 30 ἀποφήνα|σθαι M

«ποιεῖς, ἀλλ' οὐκ ἐπιτεύξῃ τοῦ ποθουμένου· μικρὸν δὲ μικρὸν «διαφόροις καὶ ποικίλαις τιμωρίαις καθυποβαλών σε, βιαίως «πείσω τὴν ἀθλίαν ψυχὴν ἀπορρῆξαι».

ταῦτα εἰπὼν καὶ παραδοὺς αὐτὸν τῷ ἐπάρχῳ τῆς πόλεως εἰς ἐξέτασιν, ἀνέστη τοῦ βήματος. ὃς παραλαβὼν αὐτόν, τίσιν col. II οὐ καθυ|πέβαλλε δεινοῖς, ποίοις δὲ τιμωρητικοῖς ὀργάνοις οὐ συνέθλιψεν αὐτοῦ τὸ σῶμα· μετὰ γὰρ τῶν ἄλλων δεινῶν καὶ ταύτην τὴν τιμωρίαν ἐπῆγε τῷ μάρτυρι οὐχ ἅπαξ, ἀλλ' ἐν ἡμέραις ἱκαναῖς· δήμιον γὰρ εἰσάγων καθ' ἡμέραν μετὰ μαχαίρας παρεσκεύαζεν αὐτὸν λώρους ἑπτὰ ἐκτέμνειν ἐκ τοῦ σαρκίου αὐτοῦ. οἶδ' ὅτι ἴλιγγος ὑμῖν, ἀγαπητοί, καὶ φρίκη προσεγένετο καὶ ἐκ μόνης τῆς ἀκοῆς, ἀλλ' οἷον τὸ γενναῖον καὶ καρτερικὸν τοῦ μάρτυρος πάλιν μαθόντες σκιρτήσετε.

ὡς γοῦν πρὸς τὴν ἀπάνθρωπον ταύτην τιμωρίαν ἀκορέστως εἶχεν ὁ ὕπαρχος καὶ οὔτε αὐτὸς φειδὼ τοῦ μαρτυρικοῦ σώματος ἐλάμβανεν οὔτε ὁ παραβάτης Ἰουλιανός, ἀλλὰ διὰ γέλωτος τὰ τούτου παθήματα ἐποιοῦντο, τοιούτως ἀντιγελῶνται παρὰ τοῦ μάρτυρος. ἐν μιᾷ γὰρ τῶν ἡμερῶν ἔμπροσθεν τοῦ ὑπάρχου fol. 31 v. λωροτομού|μενος ὁ ἅγιος, ὑποσκηψάμενος τάχα τὸν μεταμελόμενον διὰ τὸ τῆς τιμωρίας ἀφόρητον, εἴρηκε πρὸς τὸν ὕπαρχον· «βούλομαι κατὰ ταύτην τὴν ὥραν εἰπεῖν τι τῷ βασιλεῖ, ἐξ «ὧν ἀποδεκτέος αὐτῷ ἔσομαι». ὁ δὲ ἅμα τῷ ἀκοῦσαι εἰσπηδήσας εἰς τὰ βασίλεια ἔφη· «χαίροις, ὦ βασιλεῦ, ὡς λίαν «ἀσπάζονταί σε οἱ θεοί· ἰδοὺ γὰρ Βασίλειος ὁ Γαλιλαῖος «μὴ φέρων τὸ δριμὺ τῆς βασάνου τῆς καθ' ἡμέραν αὐτῷ «παρ' ἐμοῦ ἐπενηνεγμένης προσέρχεταί σοι, θύσων καὶ τοῖς «θεοῖς· μηδεμίαν οὖν ἀναβολὴν ποιησάμενοι ἄξωμεν αὐτὸν γυμνὸν οὕτως ὡς ἔστι λωροτομούμενος».

εἶπεν ὁ ὕπαρχος, καὶ παραυτίκα ἤγετο ὁ μάρτυς, τοῦ βασιλέως ὄντος ἐν τῷ ναῷ τοῦ θεοῦ αὐτοῦ Ἀσκληπιοῦ. τοῦτον θεασάμενος ὁ Ἰουλιανὸς μακρόθεν ἐβόησε· «χαίροις, «φίλε τοῖς θεοῖς Βασίλειε· ἄρτι τὴν φρένα κατέστης ὑγιής·

---

9 sq. cf. Acta Gr. § 15. 19 sqq. cf. Acta Gr. § 15. 29 sqq. cf. Acta Gr. § 16.

---

4 ἐπάρχῳ (inc. vs. M)] idem infra (vs. 15 et passim) ὕπαρχος dicitur. — Aliter Acta Gr. § 15: καὶ ἐκέλευσεν (Iulianus) ἐπὶ τούτου (leg. τούτῳ) Φρουβέτιμον (leg. Φρουμέντιον) κόμητα Κουταρίων (leg. σκουταρίων cum interprete Latino p. 382) δεροτομεῖν αὐτόν. 6 καθυπέβαλε? 8 οὐχ'ἅπαξ M 11 ἡμῖν M 15 ὕπαρχος] cf. supra (vs. 4) 21 τί M 30 θεοῦ ex θ(εο)ῦ per compendium scripto corr. M

«εἰ γὰρ καὶ τὸ σαρκίον αἱ βάσανοι ἀνή|λωσαν, ἀλλ' οὖν ὁ μέγας (col. II) «θεὸς Ἀσκληπιός, οὗ νῦν προσκυνητὴς γενήσῃ, τάχιον ὑγιὲς «ἀποκαταστήσει. δεῦρο οὖν πρός με χαίρων· ἔγγισόν μοι τῷ «τὰ συμφέροντα πολλάκις παραινέσαντι».

ὡς δὲ ἤγγισε πρὸς αὐτὸν ὁ μάρτυς, λαβόμενος τῇ χειρὶ λώρου ἑνὸς τῶν ἐκ τοῦ ἰδίου σώματος ἐκτεμνομένων καὶ τοῦτον ἀποσπάσας, κατὰ τοῦ προσώπου ἀφῆκε τοῦ ἀνόμου βασιλέως ἐπειπών· «λάβε καὶ φάγε, κύων ἀκάθαρτε, λύκε «αἱμοβόρε, ἀκόρεστε καὶ παμβέβηλε σύαγρε· σοὶ γὰρ τροφὴ «καὶ τρυφὴ τὰ ἀνθρώπεια κρέη καὶ αἵματα. οὐ παύσῃ, θεο-«μάχε, βιαζόμενος τοὺς δούλους τοῦ ἀληθινοῦ Θεοῦ θύειν εἰδώ-«λοις κωφοῖς; ἀλλ' ἐκτρίψαι σε Κύριος τάχιον ἐκ τοῦ μέσου «καὶ τῷ αἰωνίῳ πυρὶ παραδῶσαι σε, τὸ Ἀσσύριον καὶ Βαβυ-«λώνιον φύσημα».

οὕτως τοίνυν ἀνελπίστως ἐμπαιχθεὶς ὁ παράνομος παρὰ τοῦ μάρτυρος, μὴ ἔχων, ὅ τι καὶ | δράσοι, τὸν θυμὸν ἐξεκένου (fol. 32) κατὰ τοῦ ὑπάρχου καὶ τοῦτον ὕβρεσιν ἔβαλλεν ὡς μὴ ἐρευνητὴν τοῦ καθήκοντος· ὃς παραυτίκα τὸ ἀπειλητικὸν τοῦ βασιλέως ὑποτρέσας καὶ τὴν θεραπείαν αὐτοῦ παντοιοτρόπως ἐπιζητῶν, ἀνάρπαστον ποιησάμενος τὸν Βασίλειον κελεύει, καμίνου σφοδρῶς ἀναφθείσης, ῥιφῆναι μέσον αὐτῆς τὸν μάρτυρα. τούτου δὲ τάχιον ἢ λόγος γενομένου, τοῦ θεάτρου ἔτι συνισταμένου καὶ αὐτοῦ Ἰουλιανοῦ ὁρῶντος, ὁ μάρτυς εἰς τὴν πυρὰν ἀποπέμπεται· ἡ δὲ ἦν δρόσος καὶ οὐχὶ πῦρ, καὶ (ὢ τῶν παραδόξων σου κριμάτων, Κύριε·) οὐδὲ τριχὸς αὐτοῦ ἥψατο ἡ φλὸξ, ἀλλ' ἐξῄει ὅλος ὑγιής, ὅλος χαίρων, πάντας ἐξιστῶν, πάντας ἐλέγχων καὶ πάντας ἐξ αὐτῶν τῶν πραγμάτων πείθων, ὅτι εἷς Θεὸς ἀληθινός ἐστιν ὁ Χριστός.

ἐπεὶ δὲ τοῖς ὅλοις ἐξηπορήθη καὶ βασιλεὺς καὶ ὕπαρχος, καὶ δημίων χεῖρες ἀπέκαμον, | καὶ μάχαιραι ἠμβλύνθησαν καὶ (col. II) κολαστήρια ὄργανα ἤργησαν, καὶ πῦρ τὴν οἰκείαν ἐνέργειαν ἀπεβάλλετο, ἔδει δὲ καὶ τὸν μάρτυρα ἱκανῶς ἐναθλήσαντα πρὸς τὸν αὐτοῦ ἐραστὴν μεταβῆναι, ἔδοξε τοῖς κρατοῦσι πρὸς Καισάρειαν αὐτὸν σταλῆναι δέσμιον κἀκεῖσε θεάτρου συστάντος ἐπὶ τῶν τοῦ ἱπποδρόμου τόπων θηριομαχῆσαι τὸν ἅγιον.

τῶν οὖν δεδογμένων εἰς πέρας ἀχθέντων καὶ τοῦ ἁγίου, ὡς ἔφημεν, καταλαβόντος τὴν Καισάρειαν, ἱπποδρομίας τελου-

15 sqq. [cf. Acta Gr. §§ 17—20].

14 φύσ|σημα M   24 ὢ ex ὦ corr. M   32 ἀπεβάλ|λετο ex ἀπεβά|λετο corr. M

μένης λέαινα ἀφεθεῖσα καὶ παραχωρήσει θείᾳ τοῦ μαρτυρικοῦ σώματος ἁψαμένη καὶ καταβρώξασα τὴν τούτου ψυχὴν ταῖς οὐρανίαις σκηναῖς ἀναφοιτῆσαι πεποίηκε· καὶ νῦν ἐστιν ἐν οὐρανῷ παριστάμενος τῷ θρόνῳ τῷ δεσποτικῷ καὶ τὸν ἐρώμενον Χριστὸν ἀμέσως θεωρῶν συγκαθεζόμενον τῷ Πατρὶ καὶ τὰ γέρα τῶν μαρτυρικῶν ἄθλων ἀπολαμβάνων καὶ ταῖς τοῦ ἁγίου fol. 32 v. Πνεύματος | καταπλουτιζόμενος χάρισιν ὁ ἱερεὺς καὶ μάρτυς καὶ τῆς πλάνης διώκτης ἀκάθεκτος, πρεσβεύων ὑπὲρ ἡμῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

INDEX NOMINVM.

INDEX GRAECITATIS [1]).

1) Stellula eas voces vel formas insignivi, quae apud alios scriptores non occurrere videntur.

ἴλιγγος . . . καὶ φρίκη 10,11.
ἱνατί 6,23.30.
*ἰνδαλματοσκιόγραφος: τὴν ἀχαριαίαν ταύτην ζωὴν καὶ ἰνδ. 4,13.
ἱπποδρομίας τελουμένης 11,37.
ἱππόδρομος 11,35.

κάθειρξις 7,18.
ὁ τοὺς θεοὺς καθυβρίζων 5,8.
καθυλακτέω 5,7.
καθυποβάλλω: τιμωρίαις 9,4. 10,2. δεινοῖς 10,6.
κακηγκάκως ἀποθανεῖται 5,9.
τὸ γενναῖον καὶ καρτερικὸν τοῦ μάρτυρος 10,12.
καταβρώξασα 12,2.
τούτοις καταβροντηθεὶς τοῖς λόγοις 9,29.
καταγλυκαίνω 1,18.
καταγοητεύω 1,16.
καταθέλγω 1,17.
γράμματα κατελάμβανε πρὸς Κπολιν τὸν Ἰουλιανόν 7,7. καταλαβόντες . . . τὴν Νικομήδειαν 7,31 sq. καταλαβὼν τὸν Σατορνίλον 8,25.
οὕτω καταπεπτωκότα . . . καὶ καταισχυνθέντα 9,1 sq.
ταῖς τοῦ ἁγίου Πνεύματος καταπλουτιζόμενος χάρισιν 12,7.
τούτοις τοῖς ῥήμασι κατατοξευθεὶς καιρίως ὁ Πηγάσιος 8,22.
κατέχω: ἑαυτόν 5,32. 9,32.
τὸ κοκκοβαφὲς τῶν ῥόδων 1,13.
ἐλάθομεν πρὸς κολωνὸν κυρίττοντες 8,28.
ἐλάθομεν . . . ἀδάμαντα κόπτοντες ἀξίναις μολιβδίναις 8,29.
κράζων ἀτάκτῳ φωνῇ 4,30.
ὃς καὶ τὸ αὐτῶν (christianorum) δόγμα κρατύνει 7,17.

ἐλάθομεν πρὸς κολωνὸν κυρίττοντες 8,28.

λαμβάνω: φειδώ τινος 10,16.
λαξεύω 5,30.
τὸ λεῖον . . τῆς ἡδονῆς 1,11.
οὐκ ἦν . . λαθεῖν τὸν λύκον κωδίῳ προβάτου περικρυπτόμενον 8,9.
λυμήνασθαί τινα 2,6.
λώρους ἑπτὰ ἐκτέμνειν ἐκ τοῦ σαρκίου 10,10. λώρου 11,6.
λωροτομούμενος 10,19.28.

πορεύου μακρὰν ἀπ' ἐμοῦ 7,2.
μακρόθεν ἐβόησε 10,31.
(ψυχαὶ) μαλθακιζόμεναι οἱονεί πως καὶ διαθρυπτόμεναι 1,10.
εἰσπηδῆσαι μανικόν τι καὶ βάκχιον 4,15. οἱονεὶ μανικόν τι καὶ ὠχρὸν ὑπομειδιάσας 9,32.
τοῦ μαρτυρικοῦ σώματος 10,15. 12,1. μαρτυρικοὺς ἄθλους 2,2. 12,6.
ῥιφῆναι μέσον αὐτῆς (sc. τῆς καμίνου) 11,21.
ἐκτρίψαι σε Κύριος τάχιον ἐκ τοῦ μέσου 11,12.
τοῖς μηνύμασιν 5,6.
μιαίνω: Μακάριος ὁ μεμιασμένος 5,22.
μικρὸν δὲ μικρὸν . . . τιμωρίαις καθυποβαλών σε 10,1. κατὰ μικρὸν 9,31.
ἀξίναις μολιβδίναις 8,29.
αὐτὸς μόνος 9,19.
ἀνήγγειλαν τῷ ἡγεμόνι μυστικώτερον 8,3.
βαρύ τι στενάξαι καὶ μύχιον 1,22.
ἑκόντες ἐμύσατε πρὸς τὸ φῶς τῆς ἀληθείας 8,16.

ὦ τῆς ἀναισθησίας 6,10. ὦ τῶν παραδόξων σου κριμάτων, Κύριε 11,24.
ὧ δ ε . . . ἐκεῖ . . . ἄλλοθεν . . . ἔνθεν 1,14.
ὤ κ ι σ τ α 4,8.
ὑψωθῆναι ὡ ς εἰς οὐρανόν 2,16. — ἀρκτέον ὡ ς δύναμις 2,23.
οἱονεὶ μανικόν τι καὶ ὠ χ ρ ὸ ν (γοργὸν ?) ὑπομειδιάσας 9,32.

N o m i n u m d e c l i n a t i o : gen. *ἀγρώστιδος 1,19. voc. *ἡγεμόν 4,30. 5,20. κύων 11,8. nom. plur. *κρέη 11,10.

C o m p a r a t i o n i s g r a d u s : ἡδύτερον 2,1. πλέον 9,6. τάχιον (v. ind.). ὤκιστα 4,8.

V e r b o r u m f o r m a e : ἐξιστῶν 11,26. ἀντικαθιστᾷ (= ἀντικαθίστασαι) 9,19. *ἐξοιστρώσας 4,14. μεταμελόμενον 10,19 sq. — ἄξωμεν 10,27. καταβρώξασα 12,2. λέξας 7,5. εἴπατε 7,18. ἐνεγκαμένην 5,18 sq. παρέδωκαν 9,13. ἀποκτανθέντος 4,8 sq. — A u g m e n t u m : προηυτρέπισε 1,19. ἠδύναντο 6,11. augm. om.: πεποιήκεσαν 6,15. πεφθάκεσαν 8,2. ὑπονενόητο 3,16.

A b s t r a c t a p l u r. : θυμούς 2,3. ἡμερότητας 2,4.

C a s u u m s y n t a x i s : Nom. vocativo adiunctus 8,21.

Gen.: ἐνταῦθα τοῦ λόγου 2,13. πανταχοῦ γῆς 5,3. πανταχοῦ τοῦ σώματος 5,34. ὅποι τῶν κακῶν φέρῃ 7,1. ὅπως ἐχόντων περιουσίας τε καὶ σεβάσματος 2,34 sq. — ὁποίων γονέων γέγονε καὶ τίνων 2,34. ἀξιωμάτων τυγχάνεις κτλ. 6,25. οὐκ ἐπιτεύξῃ τοῦ ποθουμένου 10,1. ἀνέστη τοῦ βήματος 10,5. καταχυθῆναι τῆς αἰώρας 6,18; (sed ἀπόστηθι ἀπ' ἐμοῦ 8,20). — v. praeterea ind. s. vv. ὅλος et ὦ.

Dat.: ὀνόματα αὐτοῖς Ἐλπίδιος καὶ Πηγάσιος 7,10. εἰ τὰ πρὸς θεραπείαν ἐμοὶ αἱρεῖσθε 7,12. — τῷ πόθῳ ἡττώμεθα 2,22. — συνθέσθαι τῷ θῦσαι 8,19 sq. ἐγκυλινδούμενος τῷ βορβόρῳ 8,14. — v. praeterea ind. s. v. συζῶντες et ἐγγίζω.

Accus.: λυμήνασθαί τινα 2,6. — Χριστὸν πνεῖ 8,33. — ταύτην (scil. τὴν φυλακὴν) εἰσῄει 8,7; v. praeterea ind. s. v. ὑπεισέρχεσθαι. — τὴν πρὸς Ἄγκυραν ἐστέλλοντο 7,31. — μικρὸν δὲ μικρὸν . . . τιμωρίαις καθυποβαλών σε, βιαίως πείσω 10,1. — τὸ πρόσωπον ἀλλοιωθεὶς καὶ τὴν γλῶτταν πεδηθείς 8,23 sq. τὴν φρένα κατέσιης ὑγιής 10,32. — πολὺς τὰ θεῖα ᾔδετο 2,36. — μικρόν τι . . λυμήνασθαι . . ἢ οὐδέν 2,5 sq. τέλεον ἀποπλανηθέντας 3,15. βαρύ τι στενάξαι καὶ μύχιον 1,21 sq. similia 4,15. 5,14. 9,32. — τῶν πασχόντων καὶ ἀκουόντων (an καμνόντων?) ἀνέκφραστα 2,10. διδάσκων ἀλλόκοτα 5,16. — τοὺς ὑπ' αὐτόν 5,11.

A d i e c t i v u m : στῆτε οὖν ἑδραῖοι ἐν τῇ πίστει 3,33. ῥιφῆναι μέσον αὐτῆς 11,21. ἄλλους νυκτερινοὺς ὄντας θεοσεβεῖς καὶ ὑποκρινομένους φα-

νερῶς τὴν ἀσέβειαν 3,14. — cf. Articulus.

Articulus: ὡς ἐπὶ τὸ πλεῖστον 2,7. — τὸ δὴ θαυμαστότερον 2,7. — πολὺ τὸ τέρπον 1,10. πρὸς τὸ λεῖον καὶ ἐκκεχυμένον τῆς ἡδονῆς 1,11. τὸ κοκκοβαφὲς τῶν ῥόδων 1,13. τὸ λευκὸν τῶν κρίνων 1,14. τοῦ βαλσάμου τὸ εὔοσμον 1,15. τὸ φιλήνεμον τῆς πίτυος 1,15 sq. similia 1,17.18. 2,1.18.32 sq. 5,21. 9,5.21. 10,12.20.25. 11,18. τὰ τοῦ κόσμου τερπνά 1,12. — ὁ μεμωραμένος τῷ ὄντι Μακάριος 4,28. — τὰ τῆς στρωμνῆς 1,19. τὰ τῆς χαρᾶς 2,8. τὰ κατ᾽ αὐτόν 7,6. 9,9. τὰ πρὸς θεραπείαν ἐμοὶ αἱρεῖσθε 7,12. τὰ τῶν Ἑλλήνων ἐναγῆ καὶ κατάπτυστα 3,18. — ἐφέσει τοῦ τάχιον ἀποθανεῖν 9,34. συνθέσθαι τῷ θῦσαι τοῖς δαιμονίοις 8,20. ἅμα τῷ ἀκοῦσαι 10,22. μήθ᾽ ὅσιον ἡγούμενος τὸ σώζειν ἑαυτὸν μόνον καὶ τὸ . . τάλαντον . . . κατακρύπτειν εἰς γῆν 3,19. σπουδὴν τίθεται τὸ μηδένα πανταχοῦ γῆς καταλειφθῆναι Γαλιλαῖον 5,3. ἀφεὶς . . τὸ τοσαῦτα μάτην πάσχειν 7,26. τὸ προσμένειν αὐτόθι τῇ χειρὶ κατασημήνας 8,4. τὸ πεῖσαί με συνθέσθαι τῷ θῦσαι 8,19. — τὸ δ᾽ ὁποίων γονέων γέγονε κτλ., περιττόν ἐστι καὶ λέγειν 2,34.

Omittitur articulus: χερσὶν ἀνόμων 4,8. ἐνεγκαμένην 5,18 sq. — αὐτοῦ Ἰουλιανοῦ 11,23 (sed αὐτὴ ἡ κλῆσις 2,33. ἐξ αὐτῶν τῶν πραγμάτων 11,27). — παντὸς θλιβεροῦ 2,13. πασῶν ἀπειλῶν 7,5. 8,30. ἐν πάσαις χώραις καὶ πόλεσι 3,1 sq.

Pronomen: πρόδοτε ὑπὲρ τῆς εὐσεβείας . . . καὶ ἑαυτούς 3,34 sq. — αὑτοῦ nusquam occurrit (cf. 7,9).

Praepositiones: ὑψωθῆναι ὡς εἰς οὐρανόν 2,16. τὸ δοθὲν αὐτῷ ἐκ Θεοῦ τάλαντον 3,20. τοὺς ὑπ᾽αὐτόν 5,11. — v. praeterea ind. s. vv. ἐν, ἐξ, σύν atque ἅμα.

Verbi tempora et modi. Imperf.: 6,22. 7,7. 10,6. 11,32.

Fut. indic.: πορεύεσθε, καὶ οἱ θεοὶ ἔσονται μεθ᾽ ὑμῶν 7,30. — ἵνα . . . ἀποθανεῖται 5,9. — Fut. optat. v. ind. s. v. ἔχω.

Aor. coniunct.: τίς γὰρ . . οὐκ ἐπιλάθηται . . καὶ ὅλος ἔνθους γένηται 2,13 sq. — ὅπως . . ἐγκαταχώσῃ 4,8 sq. — Aor. inf. 6,28.

Inf. post οὐκ ἦν 8,9. οὐκ ἔστι 8,12. παραδίδωμι 9,7. παρασκευάζω 10,10. ποιέω 12,3. — ὥστε c. inf. 2,16. 3,31.

Verbi genera. Med.: ἀποβλεψάμενος 9,15 sq. — Pass.: κελεύει ἀναρτηθῆναι τὸν ἅγιον καὶ . . ξεσθῆναι 5,32 sq. similia 6,18 sq. 11,21. 9,7. 11,34.

Verbi numeri: ἐξηπορήθη καὶ βασιλεὺς καὶ ὕπαρχος 11,29. — κατὰ τὴν Γαλατίαν ἔφθανε τοῦ θεοστυγοῦς τὰ προστάγματα 3,5. γράμματα κατελάμβανε . . τὸν Ἰουλιανόν 7,7. aliter: ἠτίμωνται τὰ . . σεβάσματα, παρεώρανται τὰ . . . θεσπίσματα, ἐξήπλωνται τὰ . . . διδάγματα 4,31—33. ὄργανα ἤργησαν 11,31.

Notandum praeterea 2,22 sq. φέρε δὴ φέρε τῆς διηγήσεως ἀρκτέον.

Abundantia sermonis: *μηδὲν μελλήσας, ἄπεισι παραυτίκα* 4,29. *ἄνωθεν καὶ ἐκ προγόνων τῇ εἰδωλολατρίᾳ συζῶντες* 9,22 sq.

Allitteratio: *φιλοσωμάτοις καὶ φιλοκόσμοις* 1,7. *φιλοκάλοις καὶ φιλοθέοις* 2,2. *καταπτῆναι . . καὶ καταπαῦσαι* 2,16 sq. *τὸ ἀπάνθρωπον καὶ ἄθεον πρόσταγμα τοῦ ἀποστάτου* 2,38 sq. *συνταραττομένους καὶ συγχεομένους* 3,10 sq. *παραυτίκα . . παρέστη* 5,12 sq. *ψιθυρίζοντος καὶ ψάλλοντος* 5,34 sq. *ἀφῆλιξ . . ἀφρόνως* 6,30 sq. *διηρώτα καὶ διηρεύνα* 8,5 sq. *καταπεπτωκότα . . καὶ καταισχυνθέντα* 9,1 sq. *ἀποστείλας καὶ ἀγαγὼν μετὰ ἀτιμίας τὸν ἅγιον* 9,3 sq. *παρῄεσαν . . παρέστη* 9,8. *ἀπηνείας καὶ ἀπανθρωπίας* 9,22.

Anaphora: 8,33. 11,26 sq. — cf. praeterea 2,22. 10,1.

Asyndeton: *τεταπεινωμένος κατῃσχυμμένος* 7,4 sq. 8,24. — cf. 8,31 atque 9,2 sq.

Breviloquentia: *ἱνατί . . οὐ πείθῃ . . καὶ τοῖς προστάγμασιν* (*οὐχ*) *ὑπείκεις . . καὶ ἀξιωμάτων* (*οὐ*) *τυγχάνεις* 6,24 sq. similiter 2,14.

Concentus verborum: *κτήματά τε καὶ χρήματα* 3,34. *τροφὴ καὶ τρυφή* 11,9 sq. *ἠτίμωνται τὰ . . σεβάσματα, παρεώρανται τὰ . . θεσπίσματα, ἐξήπλωνται . . τὰ . . διδάγματα* 4,31—33. *ποτὲ μὲν συνθλώμενα καὶ πυρὶ παραδιδόμενα, ποτὲ δὲ ἀναπλαττόμενα καὶ λαξευόμενα καὶ ἀναχωνευόμενα* 5,29 sq. *Χριστὸν πνεῖ, Χριστὸν λαλεῖ, Χριστὸν φιλεῖ* 8,33. cf. praeterea 4,10—13. 9,29 sq. 11,31.

Concentus cum lusu verborum coniunctus: *ἀνόσιε Φίληξ, ἱνατί ὡς ἀφῆλιξ παῖς ἀφρόνως λαλεῖς;* 6,30 sq.

Ellipsis: *καθ᾽ ἑκάστην* 2,31 (cf. *καθ᾽ ἡμέραν* 10,9). *ἐπὶ τὰς ἀοικήτους* 3,12 sq. *ἐνεγκαμένην* 5,18 sq. *πάσης τῆς οἰκουμένης* 9,16. *εἰς τὴν Κωνσταντίνου* 9,7. *μακράν* 7,2. *τὴν πρὸς Ἄγκυραν ἐστέλλοντο* 7,31.
ἀρκτέον ὡς δύναμις 2,23. similiter *ἐστι* om. 7,5 sq. 10. 8,30. 10,12 sq. *ἔφη* (*εἶπε, λέγει* simil.) om. 5,9.25.27. 6,7. 9,20. — Cf. praeterea ind. s. v. *ἱνατί.*

Locutiones proverbiales: *τὸ δοθὲν αὐτῷ ἐκ Θεοῦ τάλαντον, ὡς ὁ πονηρὸς δοῦλος, κατακρύπτειν εἰς γῆν* 3,20 sq. *οὐκ ἦν δὲ ἄρα λαθεῖν τὸν λύκον κωδίῳ προβάτου περικρυπτόμενον* 8,9 sq. *τοξεύειν κατ᾽ οὐρανῶν* 8,17. *ἐλάθομεν πρὸς κολωνὸν κυρίττοντες . . καὶ ἀδάμαντα κόπτοντες ἀξίναις μολιβδίναις καὶ ἀέρα τύπτοντες* 8,27—29. *οὐ σκώληξ κολακείας δύναται εἰς αὐτὸν ὑπεισδῦναι* 8,30 sq. *θεοὺς δὲ καὶ βασιλεῖς καὶ ἡγεμόνας καὶ τοὺς ἄλλους τοὺς καθ᾽ ἡμᾶς ὡς πηλὸν λελόγισται* 8,34 sq.

ν paragogicum ante vocales tantum adhibetur.



SYMBOLAE CRITICAE

AD S. BASILII ANCYRANI ACTA GRAECA A PAPEBROCHIO EDITA (ACT. SS. MART., III p. *15—*17).

§ 2 *ἐπὶ τοῦ καιροῦ τοῦ συνιάσαντος* (leg. *συνανιάσαντος*) *πᾶσαν ψυχὴν Χριστιανῶν* (*χριστιανήν?* cf. Greg. Naz., III, 133 A, Migne).

§ 6 *τοῖς τοῦ δαίμονος βωμοῖς τὰς ἑαυτῶν σάρκας περιτίθησι* (leg. *περιτιθέασι* — vel *περιτιθέασιν*, cf. p. IX adn. 26) *καὶ τὸ ἑαυτῶν αἷμα περιραίνουσιν* (*περιρραίνουσιν?*).

§ 8 *Φήλιξ* (scribendum esse *Φῆλιξ* iam p. 14 monui).

§ 9 *ἀπωλείας* pro *ἀπολείας* scribendum.

§ 10 *ὁ γεινάμενος* (leg. *γενάμενος*) *ἀποστάτης*. — Ibid. *ὁ ποτὲ* septem locis pro *ὅ ποτε* reponendum. — Ibid. *συγχωρεύων* (scrib. *συγχορεύων*) *τῇ στρατιᾷ τῶν δαιμόνων*.

§ 11 *ὁ δοξαζόμενος τοῖς ἐν* (*ἐν τοῖς* transponendum, conl. § 6, — nisi forte *τοῖς*, utpote e praecedenti versu male repetitum, delendum est) *οὐρανοῖς καὶ ἐπὶ γῆς προσκυνούμενος*. — Praeivit Bollius (p. 18*, e: „qui . . glorificaris in caelis“).

Ibid. *πᾶσαν κλεῖδα* (leg. *κηλῖδα*) *τοῦ διαβόλου ἀποσμύξαι* (leg. *ἀποσμῆξαι*) *ἀπὸ τῆς ψυχῆς*.

§ 12 *ἐσφράγισεν* pro *ἐσφράγησεν* atque *ἱμᾶσι(ν)* pro *ἱμάσι* scrib.

§ 13 *κομιζόμεθα* pro *κομηζόμεθα* reponendum.

§ 15 *Καὶ ἐκέλευσεν ἐπὶ τούτου Φρουβέτιμον* (leg. *ἐπὶ τούτῳ Φρουμέντιον* iam supra ad p. 10,4 monui) *Κόμητα Κουταρίων* (leg. *σκουταρίων*) [1]) *δεροτομεῖν αὐτόν*.

§ 16 *ἔλαβεν ἕνα ἀπὸ τῶν ἐκτομηθέντων* (leg. *καινοτομηθέντων*) [2]) *λώρων τοῦ σώματος αὐτοῦ*. — Ibid. *ἐμοῦ* (leg. *ἐμοὶ*) *ἡ βοήθεια Χριστός*.

---

1) Sic legendum esse iam Tillemont (*Mémoires,* VII p. 378 adn. 2) perspexit, — addens tamen: „ou *κονταρίων* selon Mr du Cange“. — *„Frumentino Comiti Scutariorum“* interpres Lat. p. 382 C.

2) *„MS. ἡνοτομηθέντων. quod quid sit non capio. Forte ab ἥνιον, ἡνιοτομέω fit, licet id non tam* lorum *sit quam* habena“, adnotavit Bollius p. 18*, l.

§ 17 ἔγνω γὰρ ὅτι ὀργίζετο (leg. ὀργίζεται aut ὠργίζετο) πρὸς αὐτὸν ὁ Βασιλεὺς διὰ τὴν ὕβριν τὴν γειναμένην (leg. γεναμένην) αὐτῷ ὑπὸ τοῦ Βασιλείου. — Ibid. δεροτομηθῆναι pro δερωτομηθῆναι scribendum.

§ 18 ἔωθεν pro ἔωθεν, item ὦ pro Ὦ atque δήλωσον pro δήλοσον scribendum.

§ 19 Φρουβεντῖνος (leg. Φρουμέντιος, conl. § 15; — *„Frumentinus“* interpres Lat. p. 383 A).

§ 20 ὅσπερ (leg. ὥσπερ iam supra p. IX monui, — *„velut“* interpres Lat. p. 383 D) ὑπὸ ἡδέος ὕπνου ληφθείς [1]).

Emendationibus supra adlatis coniecturas quoque adiungere mihi liceat hasce: § 4 Φράξει (φράξαι malim; — *„Confringat“* interpres p. 381 A) ὁ Θεὸς τὸ στόμα σου.

§ 7 Ἀτονησάντων δὲ τῶν κουεστιοναρίων, καὶ (hanc voculam, utpote dittographiam, deleverim) κελεύσας παύσασθαι τοὺς βασανιστάς, εἶπε κτλ.

Ibid. Ἐγὼ οὐκ ἔθυσά ποτε τοιούτοις ματαίοις θεοῖς, οὔτε περιποιοῦμαι (sic de coniectura Bollius — admodum quidem probabiliter, sed cum W περιῶμαι praebeat, haud scio an περιποιῶμαι [aut περιποιήσωμαι?] praeferendum sit, ut coniunctivus vice indicativi futuri fungatur, cf. supra p. 2,13 sq.) αὐτοῖς θυσίαν ἀπολλόντων [2]) ψυχάς.

§ 8 Καὶ εἰπὼν ταῦτα ἀνῆλθε [ἀπῆλθε(ν) malim] καὶ εἰσῆλθεν εἰς τὴν φυλακήν.

§ 12 εἶπε πρὸς τὸν Ἡγεμόνα, ὃ δ' (ὅ τι aut ὅσ'?) ἂν βούλει, ποίησον.

Ibid. εἰ δὲ μήγε (εἰ δέ γε μή?), τῷ Αὐτοκράτορι τηρηθήτω.

§ 13 ὑπήντησαν αὐτῷ οἱ τοῦ διαβόλου ὑπηρέται <τῶν ρ' ὄντες οὐκ ἐ>λάττονες καὶ ἔχοντες μεθ' ἑαυτῶν τὸ εἴδωλον τῆς Ἑκάτης. Cf. p. 18*, g. — Numerum exempli tantum gratia posui.

§ 15 οἰόμενος θύειν (θύσειν?) αὐτόν.

Ibid. βούλεται ἐμφανίσαι <τι?> τῷ κράτει σου.


§ 18 Τί; ἐναπονενοημένε· (Τί ἔνι, ἀπονενοημένε; malim, conl. § 7 atque 19) θύεις . . . ἢ οὐ (leg. οὔ);

§ 20 ἐκέλευσεν ἐν (ἐν fortasse delendum esse iam p. XI adn. 35 dixi) αὐτοῖς κεντᾶσθαι αὐτόν.

---

1) Menda, quae merae operarum deberi videntur neglegentiae veluti Ἑπισκόπων § 2, Ἑαθέμενος § 3 (pro ἐκθέμενος), αἷτινες § 6, Ἐμακαρίζατο § 16, simil., ut par est, missa facio.

2) ἀπόλλουσι coniecit Bollius p. *17, d, quod tamen necessarium non esse recte censuit Papebrochius.




3 0112 126253811